# TEZAUR LITURGIC

## 12 IUNIE

## PORFIRIE SIMONOPETRITUL

# SLUJBA
# SF.CUVIOS-MUCENIC
# TIMOTEI
# DE LA
# KONSTAMONITU-
# ATHOS

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 ΙΟΥΝΙΟΣ

# ΤΙΜΟΘΕΟΣ ΝΕΟΣ ΟΣΙΟΜΑΡΤΥΣ ΚΩΝΣΤΑΜΟΝΙΤΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Πορφυρίου ἱερομονάχου**

## ΕΝ ΤΩ͂Ι ΜΙΚΡΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν Προσόμοια. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.

Δεῦτε συμφώνως ἐν ὕμνοις ἐγκωμιάσωμεν, τὸν νέον ἀθλοφόρον, τοὺς στεφάνους τῆς νίκης, προφρόνως προσκομίζοντες πρὸς αὐτόν, καὶ πιστῶς ἐκβοήσωμεν· ὡς κατενίκησας Ὅσιε τὸν Ἰσλάμ, οὕτως ἡμᾶς νῦν ἐνδυνάμωσον.

Τῶν μοναζόντων τὰ πλήθη καὶ τῶν Μαρτύρων χοροί, ὄντες ἐν Παραδείσῳ, νῦν κροτήσατε χεῖρας, Τιμόθεον τὸν νέον ἐν ἀθληταῖς, καταστέφοντες ᾄσμασιν, τῶν μοναζόντων τὴν δόξαν καὶ ἀθλητῶν, τῶν ἐπ’ ἐσχάτων τὸν συγκάθεδρον.

Τῆς σῆς πατρίδος παμμάκαρ ἅπας ὁ δῆμος κροτεῖ, τῶν σῶν ἀγωνισμάτων, τὴν περίλαμπρον νίκην, καὶ ᾄδει χαρμοσύνως ἐπὶ τῇ σῇ, μνήμῃ σήμερον ἔπαθλα,

ὡς ἀντιλήπτορα ἔχων σὲ πρὸς Χριστόν, Πάτερ σεβάσμιε Τιμόθεε.

Τοῦ Γρηγορίου τοῦ θείου ὡς κερασφόρου κριοῦ, ἐν τῇ Βασιλευούσῃ, βρόχῳ τελειωθέντος, πλειὰς Νεομαρτύρων ἐσφάγη αὐτῷ, ὡς ποιμένι τὰ πρόβατα, ἵνα τρανώτερον λάμπῃ ἐν τῇ Ἐδέμ, ὑμῶν τὸ σύστημα Τιμόθεε.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὑδάτων πολλῶν ῥοὴν σῆς πατρίδος, ἀντήλλαξας ἀσκητικῶν ἱδρῶτων ἀρδείαις, καὶ μαρτυρικῶν αἱμάτων κρουνοῖς, ἀξιάγαστε Πάτερ Τιμόθεε. Ἐν αὐτοῖς οὖν ἀπέπνιξας, τοὺς νοητοὺς ἀντιδίκους, καὶ τὸν γόνον τῆς Ἄγαρ τὸν παμβέβηλον· ὅθεν καὶ νῦν, συγκροτοῦντες τὴν σὴν πανήγυριν, σὲ προβαλλόμεθα πρέσβυν θερμότατον καὶ βοηθὸν καὶ ἀντιλήπτορα, δροσοστάλλακτον πρὸς Κύριον.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Οἶκος τῆς σῆς τρανῶς, πατρίδος ἀναγράφει, τὴν μνήμην σου προφρόνως, Τιμόθεε θεόφρον, εἰς δέλτους καρδιῶν ἡμῶν.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Δεῦτε συναθληταί, τοῦ θείου Τιμοθέου, πρεσβείαν σὺν ἐκείνῳ, χαρμονικῶς ποιεῖτε, πρὸς θρόνον τοῦ παντάνακτος.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Σπεύσατε Βεῤῥοιεῖς, καὶ ὅσοι ἐκ τῶν κύκλῳ, χωρίων εὐσεβούντων, τὸν θεῖον τοῦτον πρέσβυν, Τιμόθεον τιμήσωμεν.

*Δόξα.*

Ἄγαρ τὴν νοητήν, νικήσας ὡς μονάζων, αὐτῆς τοὺς ὑπηρέτας, ἐν αἵμασι θεόφρον, ὡς Μάρτυς νῦν ἀπέπνιξας.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα ὡς ἀεί, πρεσβεύεις τῷ Υἱῷ Σου· νῦν ἔχεις πρὸς Ἐκεῖνον, τὸν νέον ἀθλοφόρον, Τιμόθεον συλλήπτορα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Χαίρει ἔχουσα, τῶν Βεῤῥοιέων, νέον καύχημα, ἡ Ἐκκλησία, σὲ Τιμόθεε Πατὴρ ἡμῶν Ὅσιε· ὥσπερ γὰρ Μάρτυς Χριστῷ παριστάμενος, ὑπὲρ ἡμῶν μὴ ἐλλείπης δεόμενος, ἀλλὰ πρέσβευε Αὐτῷ ἐκτενῶς ὁσιόαθλε, σωθῆναι τοὺς πίστει σὲ γεραίροντας.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

**ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂**

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς ἀμνὸς ἐθελούσιος, ὡς κριὸς ἀπειρόκακος, καὶ ὡς θῦμα τέλειον ἐκαρτέρησας, ἐν ταῖς βασάνοις Τιμόθεε, καὶ μάστιγας ἔφερες, καὶ τὰ ἄλλα τὰ φρικτά,

μαρτυρίου προσκόμματα, καὶ ἀπέλαβες, ἀμαράντους στεφάνους χριστοπλέκτους, καὶ ἀγάλλει αἰωνίως, σὺν τοῖς Μαρτύρων στρατεύμασιν.

Εὐφραινέσθωσαν σσήμερον, καὶ σκιρτάτωσαν χαίρουσαι, αἱ πατρίδες ἅπασαι συμπλεκόμεναι, τοὺς ἱεροὺς προσκομίζουσαι, Χριστῷ θείους Μάρτυρας, οὕσπερ ἤνεγκον εἰς φῶς, θεϊκῆς ἐπιγνώσεως, καὶ ἀνέθρεψαν, καὶ προσήγαγον θύματα προφρόνως, ἐπ᾽ ἐσχάτων νῦν τῶν χρόνων, οἵπερ τὴν Ἄγαρ ἐνίκησαν.

Μακαρίου ἀκόλουθος, Βενεδίκτου ὡς σύσκηνος, Συνεσίου Παύλου τε ὁμογάλακτος, κοινὰς βασάνους ὑπήνεγκας, κοινὸν καὶ τὸν θάνατον, καὶ ἐπέλαμψεν λαμπρόν, οὐρανόθεν μακάριε, τὴν σκοτόμαιναν, θεῖον φέγγος τὰ λείψανα φωτίζον, τοὺς ἀπίστους καταπλῆττον, τοὺς βορβορώδεις Τιμόθεε.

*Ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πύργος ὡράθης ἀπτόητος, ἐν ταῖς βασάνοις σοφέ, ἐν τῷ Πύργῳ τοῦ αἵματος, καταπλήσσων δαίμονας, τῷ στεῤῥῷ σου φρονήματι, καὶ καρτερίας ἀδάμας γέγονας, τῇ ἡλικίᾳ καίτοι πρεσβύτερος, Πάτερ Τιμόθεε, μοναζόντων καύχημα καὶ ἀθλητά, Ἄγαρ τροπωσάμενος, τὴν κακοδαίμονα.

Πείνῃ καὶ δίψῃ στομούμενος, ξύλῳ σταυροῦ μιμητής, ἀνεδείχθης Τιμόθεε, τὸν Χριστὸν ἐκμιμούμενος· ὅθεν στέφος νόμιμον συνεπλέχθη σοι

Ὅσιε, ἐγκαρτερήσας σὺν τοῖς συνάθλοις σου, καὶ μέχρι τέλους οὐκ ἐπτοήθητε· ὅθεν ἀγάλλεσθε, ἐν τρυφῇ θεόφρονες καὶ νοητῆς, δόξης ἀπολαύετε, ἐν Παραδείσῳ σοφοί.

Μάρτυρες νέοι ὁμόφρονες, τῶν παλαιῶν ἀθλητῶν, ἐκτυπώματα γνήσια, τῇ ἀσκήσει πρότερον γυμνασθέντες ἐν Ἄθωνι· τοῦ μαρτυρίου δρόμον ἀνύσαντες, σὺν Τιμοθέῳ θεῖος Βενέδικτος, Παῦλος Συνέσιος, θρέμματα τῆς Κώνσταντος, πρωταθλητοῦ, τοῦ Στεφάνου γνήσια, τῆς Θεοτόκου ἀμνοί.

*Δόξα. Ἦχος πλ. α΄*

Ὕδατα καρπογόνα ἀρδεύοντα γῆν ἀγαθήν, πολυτάλαντον καρποδοσίαν ἀποφέρουσιν· ἀλλ’ ἐν σοί, θεοτίμητε Πάτερ, ἀρδεῖαι ἀγώνων ἀσκητικῶν, ἐκαλλιέργησαν χώραν καρδίας θεοφιλοῦς, καὶ σταλαγμοὶ τῶν αἱμάτων ἐκαρποφόρησαν στέφος χριστοκόσμητον, μαρτυρικὸν καὶ πολυανθὲς καὶ εὐωδέστατον, δι’ οὗ ἀγωνοθέτης Χριστὸς ἐμαργάρωσε σὴν κορυφήν, ὁσιόαθλε Πάτερ Τιμόθεε.

*Καὶ νῦν ... Θεοτοκίον*

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα

μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ

ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ἡ ζοφερὰ τῆς ἡμισελήνου, νύξ, ἀδελφοὶ προέκοψεν, βοᾷ σὺν τοῖς συνάθλοις αὐτοῦ, ὁ πανόλβιος Τιμόθεος· ὅθεν σπεύσωμεν ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατῆσαι, ἵνα λάβωμεν ἐν οὐρανοῖς ζωὴν ἀτελεύτητον. Καταφρονήσωμεν τῶν βασάνων ἀνδρικῶς, ὅτι ἐν βίῳ θλίψιν ἔχομεν. Θαῤῥήσωμεν ἀδελφοί· νῦν γὰρ σελήνη μινοειδὴς καὶ ἀφεγγής, ἐκεῖ ἥλιος ἀνέσπερος καὶ φωτοφόρος χαρὰ ἀνεκλάλητος, ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι ἡμῶν.

*Ἦχος β΄.*

Ἀνέτειλεν ἡμῖν ὡς ἀστὴρ ὀρθρινός, μνήμη ἡ φωτοφόρος τοῦ Ὁσιομάρτυρος Τιμοθέου, βοᾷ χαρμοσύνως, ἡ πληθὺς τῆς ἐνεγκαμένης σε, ἀθλοφόρε ἀοίδιμε Χριστοῦ. Ἀλλὰ καὶ αὐτή, ὡς ῥέουσα παρέρχεται, ταχέως ἡ ἄστατος, καὶ ταύτην διαδέχεται ζωὴ ἡ αἰώνιος· ὅθεν καὶ ἡμεῖς, τὰ παρόντα ὑπομείναντες γενναίως, σὺν αὐτῷ ἀδελφοί, κληρονομήσωμεν ζωὴν τὴν αἰώνιον.

*Ἦχος γ΄.*

Πάτερ Τιμόθεε, ὁ ἐν Ὁσιομάρτυσι νέος βλαστός, ὁ γηραιὸς ἐν ἡλικίᾳ, ἀλλὰ ἐν ὑπομονῇ νεάζων, πικρᾶς δουλείας εἱρκτῇ καὶ βασάνοις παντοίαις τῶν θηριωνύμων ἀπίστων ὑπέμεινας γενναίως· ὅθεν θεοτίμητε, βαθμῖδας τελειότητος ἀνελθών, κοινωνίαν πρῶτον γάμου, τριβώνιον μοναχικὸν ὕστερον, ἐν τέλει δὲ στέφανον μαρτυρίου ἀπείληφας· ὅθεν τοῦ Πρωτομάρτυρος τέκνον γνήσιον ἀνεδείχθης καὶ ἀδιαλείπτως πρεσβεύεις ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὅσιε Πάτερ, σταυρὸς ἀκτινοπύρσευτος, οὐρανόθεν ἐπέλαμψεν, καταστέφων, τῶν σεπτῶν ἡμῶν λειψάνων τὰ μαρτυρικὰ παλαίσματα· ὅνπερ σταυρόν, ἐπ᾽ ὤμων διὰ βίου ἀράμενος, τὴν εὐαγγελικὴν

ὁδὸν ἀράμενος, τὴν εὐαγγελικὴν ὁδὸν πορευόμενος, μαθητὴς γνησιώτατος. Παύλου τοῦ πρωτοκήρυκος γέγονας, ὥσπερ τῆς κοινῆς ἡμῶν πατρίδος εὐαγγελιστὴς Βεῤῥοίας ἐχρημάτισεν· ὅθεν τὸ μαρτύριόν σου νόμιμον καὶ τὸ στέφος ἐπάξιον, δι' οὗπερ κοσμούμενος, παῤῥησίᾳ πρέσβευε, ἀξιόθεε Τιμόθεε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῆς ἡσυχίας σοφέ, ὁ ἐραστής τε καὶ δορκὰς ἡ θεόπνευστος, ὁ πάντα τόπον ἐν Ἄθῳ, διψητικῶς ἐρευνῶν, καὶ τιμὴν ὁ δείξας τῆς θεότητος· Τιμόθεε Ὅσιε, τῆς πατρίδος σου σέμνωμα, ὑπακοῆς τε, προσφυέστατον πάλαισμα, ὁ φρονήματι, ἀθλητὴς γενναιότατος. Χαῖρε Μάρτυς θεόλεκτε, καὶ χόρευε πάντοτε, σὺν τοῖς τιμίοις συνάθλοις, ὅσοι Χριστὸν ἐτιμήσατε, καὶ εὔχεσθε πάντες, ὑπὲρ πόλεως καὶ ποίμνης, ὅσοι τιμῶσιν ὑμᾶς.

Στ.: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Πύργος, παρὰ θαλάσσης λευκός, τῇ παντευχίᾳ τοῦ σταυροῦ τειχιζόμενος, ἐδείχθης χάριτι πλέων, καταφρονήσας ἐχθρῶν· μόνην τὴν ἐλπίδα πρὸς τὸν Κύριον, ἐπέθηκας πάντολμε, τῇ καρτερίᾳ, συνεχῶς κραταιούμενος, καὶ τὰ βάσανα, ὡς τρυφὴν λογιζόμενος· χάριν ὅθεν Τιμόθεε, ἐκτήσω τοῖς δούλοις σου, ἵνα κρατύνῃς καὶ σκέπῃς, ταῖς προσβολαῖς τοῦ ἀλάστορος· καὶ πέμπεις πλουσίως, τοῖς τιμῶσί σου τὴν μνήμην, πλούσιον ἔλεος.

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Χαίροις, Νεομαρτύρων πλειάς, τὴν γραῖαν Ἄγαρ εὐθαρσῶς οἱ νικήσαντες, ἐν πάσῃ τῇ ἡλικίᾳ, καὶ πάσῃ τάξει σοφοί, τὰ τῆς Ἀρσενίου ποίμνης θρέμματα, Βεῤῥοίας οἱ πρόκριτοι, καὶ νεάνιδες πάγκαλοι, οἱ νεανίσκοι, καὶ οἱ γήρᾳ τρυχόμενοι, οἱ ἀθλήσαντες, ἐν ἐσχάτοις τοῖς ἔτεσι. Πλέξατε οὖν μακάριοι, χορείαν γηθόμενοι, σὺν Τιμοθέῳ ἐν πόθῳ, καὶ τὸν Χριστὸν ἱκετεύσατε, εἰρήνην ταχεῖαν, καταπέμψαι ἡμῖν πᾶσι, καὶ θεῖον ἔλεος.

*Δόξα. Ἦχος δ΄*

Καταρδεύεται, Πάτερ Τιμόθεε, ἡ πατρίς σου ἡ εὐγενής, ῥεύμασιν ὑδάτων ζωτικῶν, τὸ δὲ δένδρον τῆς

πίστεως, αἵμασι μαρτυρικοῖς καὶ ἱδρῶσι παλαισμάτων ἀσκητικῶν· ὅθεν καὶ σὺ ποτισθείς, ὕδατι ἁλομένῳ εἰς αἰώνιον ζωήν, ἐπότισας θυόμενος τὸ δένδρον τὸ ἀειθαλές, τὴν Ἐκκλησίαν Χριστοῦ· ὅθεν καὶ ἡμᾶς καταξίωσον, εὐωχούμενοι ὑπὸ τοὺς κλάδους αὐτοῦ, καὶ ἐν Παραδείσῳ σὺν σοὶ κατασκηνῶσαι, Πάτερ θεοτίμητε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄.*

Μαρτυρίου στεφάνῳ κοσμηθεὶς θεοφόρε, ὁσιακῶς ἐν τῷ Ἄθῳ, διὰ Χριστὸν ξενιτεύσας· διὸ καὶ τιμᾶσαι νῦν θερμῶς, Τιμόθεε θεῖε παλαιστά, καὶ πρεσβεύεις ἐπαγρύπνως, ὑπὲρ πατρίδος σου θεόσοφε Πάτερ. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἀναδείξαντι, δόξα τῷ δωρησαμένῳ σὲ ἡμῖν, πρέσβυν θερμότατον.

*Δόξα. Ἦχος γ΄. Θείας πίστεως.*

Χαίρει ἔχουσα, τῶν Βεῤῥοιέων, νέον καύχημα, ἡ Ἐκκλησία, σὲ Τιμόθεε Πατὴρ ἡμῶν Ὅσιε· ὥσπερ γὰρ Μάρτυς Χριστῷ παριστάμενος, ὑπὲρ ἡμῶν μὴ

ἐλλείπης δεόμενος, ἀλλὰ πρέσβευε Αὐτῷ ἐκτενῶς ὁσιόαθλε, σωθῆναι τοὺς πίστει σὲ γεραίροντας.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Ἐσβέσθη ἀδελφοί, ἡμισελήνου τὸ φέγγος, ἐπέλαμψεν ἰδού, δικαιοσύνης ἡμέρα, ἀνέτειλε λαμπρότατος, καὶ τὸν κόσμον κατηύγασε, καὶ ἐνέκρωσε, τὰς τοῦ ἐχθροῦ πανουργίας, ὁ Τιμόθεος, σὺν τοῖς συνάθλοις του πᾶσιν, ὡς Μάρτυς καλλίνικος.

*Δόξα.*

Ἐπέφθακε πλειάς, ἀθωνιτῶν μονοτρόπων, υἱοὶ ὑπακοῆς, εἰς μαρτυρίου τὴν στράταν, βασάνων ἀγωνίσμασι, καὶ αἱμάτων τοῖς ῥεύμασι, καὶ παλαίσαντες, ἐν Δημητρίου τῇ πόλει, πρὸς

ἀρχέκακον, τὸν κατετρόπωσαν ὄντως, καὶ στέφους ἀπείληφαν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, τοὺς δούλους Σου ἁγνή, περιφρούρει παντοίως· δεινοὶ γὰρ οἱ φαυλίζοντες, καὶ τὰ πάθη τοῦ σώματος, κατατρύχουσι, καὶ πολεμοῦσι ἀσυγχρόνως, καὶ ἐξέλκουσι, ἐκ τῆς ὁδοῦ τῆς εὐθείας, εὐκόλως τοὺς δούλους Σου.

*Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Ἡ καρτερία σου, Μάρτυς καλλίνικε, καὶ τὰ παλαίσματα, ἅπερ ὑπέφερες, πύργος ἐδείχθησαν λευκός, Τιμόθεε θεοφόρε· ὅθεν καὶ παρέλαβον, λευκοφόρον οἱ Ἄγγελοι, τὴν ψυχήν σου Ὅσιε, καὶ Χριστῷ προσεκόμισαν. Παρ' οὗ σοὶ καὶ τὸ στέφος τῆς νίκης, ἐδόθη Πάτερ καὶ χαίροις φιλόθεε.

*Δόξα.*

Πλειὰς νεότευκτος, Μαρτύρων σύλλογος, τοῦ Ἄθω καύχημα, σήμερον τέρπεται, σὺν Τιμοθέῳ τῷ σοφῷ, Βενέδικτος ὁ θεόφρων, Παῦλος καὶ Συνέσιος, Σάββας ὄντως ὁ ἄκακος, καὶ αὐτῶν ὁμόφρονες οἱ γνωστοὶ καὶ ἀνώνυμοι, χορεύοντες οἱ νέοι Ἀθλοφόροι, περὶ τὸν θρόνον τοῦ παντάνακτος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἡ παρθενία Σου, Θεογεννήτρια, κόσμον κατέπληξε, τῶν νοερῶν λειτουργῶν, πῶς παρθενεύεις, καὶ τίκτεις καὶ πάλιν μένεις παρθένος· ὅθεν καὶ τοῦ Ἄθωνος, αἱ χορεῖαι πλουτίζουσι, βίον καθαρότητος, οἱ ζητοῦντες προστρέχουσι. Καὶ μένει εἰς αἰῶνα Παρθένε, τῆς παρθενίας Σου ἡ μίμησις.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀνυμνήσωμεν σήμερον ὦ φιλέορτοι, Τιμοθέου τὴν μνήμην καὶ ἀνακράξωμεν, ἐκβοῶντες πρὸς αὐτόν· Πάτερ τρισόλβιε, μὴ ἐλλείπῃς ἐκτενῶς, ὑπὲρ τῆς ποίμνης σου σοφέ, πρεσβεύειν πρὸς τὸν Σωτῆρα, τοῦ ἐλεῆσαι καὶ σῶσαι, τοὺς εὐλογοῦντας τὴν σὴν ἄθλησιν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Χαῖρε Κόρη Παρθένε θεοειδέστατε, χαῖρε Μῆτερ ἁγία ἡ προστατεύουσα, ἅπαν τὸ γένος τῶν πιστῶν, Θεογεννήτρια, καὶ ἐκδιώκουσα σοφῶς, τὰς ἐναντίας προσβολὰς ὥσπερ δαιμόνων τὰ βέλη, καὶ περισκέπεις ὡσαύτως, τοὺς μεγαλύνοντας τὸν τόκον Σου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Βασάνοις ἐγκαρτερῶν, τῷ κοινῷ τέλει ὑπέκυψας, Τιμόθεε θεόφρων· καὶ ὡς λευκὴ περιστερά, ἐκ Πύργου αἵματος, ἡ ψυχή σου αἱμόφυρτος καὶ λελαμπρυσμένη, στίγμασι μαρτυρικοῖς προσῆλθες τῷ Χριστῷ· καὶ πρεσβεύεις Πάτερ ὁσιώτατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα, ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς κατ’ Ἀλφάβητον, ἐξαιρουμένων τῶν Θεοτοκίων.

*ᾨδὴ α’. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Ἀνοίξω τὸ στόμα μου, ἵνα ὑμνήσω τρανότατα, Βεῤῥοίας τὸ βλάστημα, Κωνσταμονίτου καρπόν, τὸ ἀνάθημα, καὶ θεῖον ἱερεῖον, τὸν θεῖον Τιμόθεον, τὸν Νεομάρτυρα.

Βληθεὶς ὁ θεσπέσιος, σὺν τοῖς συνάθλοις εἰς βάσανα, οὐδόλως ὑπέκυψεν εἰς δολερὰς ἀπειλάς, ἀλλ’

ὑπέμεινεν, ἀνδρείως ἑκουσίως, δοξάζων ἐν μάστιξι, τὸν πρωταθλήσαντα.

Γεραίροντες σήμερον, τῶν Βεῤῥοιέων ὁ σύλλογος, τὸν θεῖον Τιμόθεον, τοῦ Ἀρσενίου ἀμνόν, ἱκετεύσωμεν δυάδα παῤῥησίᾳ, ἵνα ἐπιτύχωμεν Χριστοῦ τὰς χάριτας.

*Θεοτοκίον.*

Παρθένε πανάμωμε, τῶν μονοτρόπων τὸ σέμνωμα, τοῦ Ἄθω στερέωμα, φυλῆς Ἑλλήνων ἐλπὶς καθικέτευε, εὑρεῖν τοὺς σοὺς ἱκέτας, ἐν ὥρᾳ τῆς κρίσεως, Μῆτερ παράκλησιν.

*Ὠδὴ γ᾽. Τοὺς σοὺς ὑμνολόγους.*

Διπλοῦς ἀπολαύεις τοὺς στεφάνους, Τιμόθεε Πάτερ ἀσφαλῶς, μαρτύρων γὰρ ὡς σύναθλος, καὶ τῶν Ὁσίων σύσκηνος· ὅθεν καὶ συνευφραίνεσθε ἐν Παραδείσῳ θεόλεκτε.

Ἐλήλυθε Πάτερ ἀνακράζεις, ἡμέρα χαρμόσυνος φωτός, ἡ Ἄγαρ ἐξεβλήθη γάρ, καὶ ἐν κρουνοῖς ἀπέπνικται, μαρτυρικοῖς γὰρ αἵμασι, περιπλακεῖσα ἐξέπνευσε.

Ζυγὸν γυναικὸς πρώην βαστάσας, τὸ ὄρος ἐπέφθακας τοῦ Ἄθωνος, καὶ τοῦτο ἀνηρεύνησας, ζητῶν λιμένα εὔδιον· ὅθεν καὶ κατεσκήνωσας, εἰς τοῦ Στεφάνου τὸ σκήνωμα.

*Θεοτοκίον.*

Ῥεόντων Θεόνυμφε Παρθένε, ἐμφύτευσον θεῖον γλυκασμόν, καταφρονεῖν καὶ σώζεσθαι· ὥσπερ καὶ ὁ Τιμόθεος, ἀπέφυγε πανάμωμε, τὴν κοσμικὴν ματαιότητα.

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Χαῖρε Τιμόθεε, πρεσβῦτα Ὅσιε, ὅτι τὴν μνήμην σου, σήμερον ἄγοντες, ἐν χαρμοσύνῃ οἱ πιστοί, κραυγάζομεν θεοφρόνως· Πάτερ θεοτίμητε, Ὁσιομάρτυς θεόστεπτε, πρέσβευε ἑκάστοτε, ὑπὲρ ποίμνης τιμώσης σε, Χριστὸν ἵνα εὕρωμεν θεόφρον, ἐν ὥρᾳ κρίσεως εὐίλατον.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Χαῖρε εὐρύχωρον, Θεοῦ παλάτιον· χαῖρε πολύφωτον, Χριστοῦ ἀνάκτορον· χαῖρε χρυσόπλοκε παστάς, καὶ κλίνη πορφυρόστρωτε· θάλασσα πυρίμορφε, οὐρανὲ ὑψηλότατε, ἔμψυχε Παράδεισε, λογικὸν ἐνδιαίτημα, περίδοξε θρόνε τοῦ Δεσπότου, χαῖρε Μαρία Θεοτόκε.

*ᾨδὴ δ’. Ὁ καθήμενος ἐν δόξῃ.*

Ἠσκημένος ἐν τῷ βίῳ, εἰς τοῦ γάμου τὰ βάσανα, ὁ γενναῖος ἦλθε φεύγων βουληφόρως πρὸς Ἄθωνα, τῇ ἐλαφρᾷ πολιτείᾳ καὶ διέλαμψεν, ἐν τῷ τέλει μαρτυρικῷ, στεφάνῳ κοσμούμενος.

Θελημάτων θεοφόρε, τῆς σαρκὸς κατεφρόνησας, καὶ ἐν κοινοβίῳ Μάρτυς προαιρέσεως δέδειξαι, ὑπακοῇ καὶ ἀσκήσει καὶ σεμνότητι, καὶ ἀπέδειξας, τὸν ζυγὸν τοῦ Χριστοῦ ἐλαφρότατον.

Ἱκετεύεις οὖν θεόφρον, τῷ Χριστῷ παριστάμενος, ὥσπερ παῤῥησίαν ἔχων πρὸς αὐτόν, φίλος γνήσιος καὶ προστατεύεις τοὺς πίστει σοὶ προστρέχοντας, καθιστάμενος τῆς πατρίδος σου πρέσβυς θερμότατος.

*Θεοτοκίον.*

Φυγαδεύεις Θεοτόκε, πᾶσαν ἐναντίαν κακότητος, καὶ ἀποσβεννύεις, τῶν κακοποιῶν μηχανήματα, καὶ θριαμβεύεις, ὡς τέξασα πανύμνητε, ἀπειρόγαμε Σὺ τὸν παντοκράτορα Κύριον.

*ᾨδὴ ε’. Ἐξέστη τὰ σύμπαντα.*

Κατέπτυσας Ὅσιε, ἐν Πύργῳ κακουχούμενος, πᾶσαν μηχανὴν τῶν ἀλλοπίστων, καὶ ἐν βασάνοις ἐν τῷ Λευκῷ πειρασθείς, ἐν πόλει Δημητρίου κραταιῶς· ὅθεν ἀναδέδειξε, Μάρτυς Πάτερ θεοδόξαστε.

Λαμπρὸς πεφανέρωται, ἐπὶ τῷ στερεώματι, τίμιος Σταυρὸς ἀκτινοφόρος, ἀναδεικνύων τὰ θεῖα λείψανα, τῆς χάριτος σκεύη ἐκλεκτά, πᾶσι δὲ τοῖς πάσχουσι, ἰατρεῖα σωτήρια.

Μηδόλως πτοούμενοι, δημίων μηχανεύματα, Μάρτυρες ὑπέφερον γενναίως, τοὺς κρεμαστῆρας,

τοὺς ῥαβδισμοὺς τὸν δαρμόν, καὶ ξύλου φρικτὸν τὸν συγκλεισμόν, ἅπερ κατελάμπρυνον μαρτυρίου τὸ πάλαισμα.

*Θεοτοκίον.*

Ῥεόντων ἀπέπτυσαν, οἱ Μάρτυρες τὸ φρόνημα· Σὲ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχον ἐλπίδα ἐν τῇ τοῦ Πύργου εἱρκτῇ, καὶ ἔψαλλον χαίροντες τῷ Σῷ, τόκῳ τῷ βραβεύοντι, σωτηρίαν τοῖς κάμνουσιν.

*Ὠδὴ στ᾽. Τὴν θείαν ταύτην*

Νεφέλη Πάτερ σταυρόσχημος, τὰ λείψανα ἐφάνη ὡς σκέπουσα, τῶν συμμαρτύρων σου, οὕτω δεικνύουσα Ἅγιε, τὴν νόμιμον ὁδὸν τῆς ἀθλήσεως.

Ξεσμούς μαστίγων ὑπέφερες, καὶ ξύλῳ συγκλειόμενος ἔχαιρες, τὴν κακοπάθειαν, ὡς τοῦ Χριστοῦ φίλος γνήσιος, γενναίως ὑπομένων Τιμόθεε.

Ὁ κλῆρος οὕτως τοῦ Ἄθωνος, χορῷ Νεομαρτύρων συμπλέκεται, καὶ συναγάλλεται, δεῦτε βοῶντες Δημήτριε, πατρίδας τὰς ἰδίας περιφρουρήσωμεν.

*Θεοτοκίον.*

Σὺ Μῆτερ ἄμεμπτος πέφυκας, οἱ Μάρτυρες ἀλλ᾽ ὅμως ἐν αἵματι, πρῶτον ἀπέπλυνον, τὰ ἑαυτῶν πλημμελήματα, ὡς δεύτερον λουτρὸν τοῦ βαπτίσματος.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.*

Τὰ ἄνω ζητῶν τῶν κάτω κατεφρόνησας, καὶ ὥσπερ δορκὰς τὸν Ἄθωνα κατέλαβες· καὶ ὑπήκων Πάτερ θερμότατα, ὡς Μάρτυς ὁσίως ἐνήθλησας, Τιμόθεε Πάτερ Νεομάρτυς σοφέ, ἱκετεύων Χριστῷ, ὑπὲρ πάντων ἡμῶν.

*Ὁ Οἶκος.*

Γρηγορίου τοῦ πέμπτου καὶ ἀρχιθύτου, ἐν ἀγχόνῃ πνιγμῷ τελειωθέντος, πληθὺς ὀπίσω αὐτοῦ ἀρνίων κατεσφάγησαν· ἄλλοι δὲ ἐν φυλακαῖς κατατρυχώμενοι, πείνῃ δίψῃ στεῤῥῶς ἐστομώθησαν. Καὶ ἅπαντες νῦν ἄνω ποίμνην συγκροτοῦντες, τὴν γραῖαν Ἄγαρ νικήσαντες γενναίως· ἐν οἷς καὶ Τιμόθεος Ὅσιος, ἱκεσίαν ποιοῦνται Χριστῷ, ὑπὲρ πάντων ἡμῶν.

*Συναξάριον*

Τῇ ΙΒ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Νέου Ὁσιομάρτυρος Τιμοθέου τοῦ Κωσταμονίτου, του ἐκ Βεῤῥοίας, καὶ ἐν Θεσσαλονίκῃ ἐν ἔτει 1821ῳ ἀποκεφαλισθεὶς μαρτυρήσας.

*Τιμόθεος γέρων σὺν τοῖς αὐτοῦ συνάθλοις,*

*κατήσχυναν γόνου τῆς Ἄγαρ παγκάκιστου.*

*Γῆθεν ἤρθη Τιμόθεος πρὸς σέλας Ἰουνίου δωδεκάτη.*

*ᾨδὴ ζ'. Οὐκ ἐλάτρευσαν.*

Παρεφρόνησαν τῆς Ἄγαρ τὰ γεννήματα οἱ ἀρνησίχριστοι· ἀλλὰ βασάνων βολάς, ἀνδρείως ὑπέφερον καὶ τῶν ῥοπάλων δαρμούς, βοῶντες οἱ Ἅγιοι καὶ συμψάλλοντες· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ῥητορεύοντες οὐ παύομεν οἱ φίλοι σου, Πάτερ Τιμόθεε, τυραννικοὺς αἰκισμούς, ἀνδρείως πῶς ἔφερες χαίρων καὶ ἔψαλλες· Ὑπερύμνητε, Ὁ τῶν Μαρτύρων σύναθλος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σελαγίζομεν τὴν μνήμην σου γηθόμενοι, Πάτερ Τιμόθεε, νῦν ἀρδευόμενοι, χαριτοβρύτοις ῥοαῖς, εὐχῶν σου καὶ ψάλλομεν, σκιρτῶντες Ὅσιε· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Σὺ πανάμωμε ὡς νύμφη τοῦ παντάνακτος τῶν μοναστῶν χαρμονή, καὶ τῶν Μαρτύρων χαρά· εἰς Σὲ οὖν ἐλπίζοντες, πάντες κραυγάζομεν· πανακήρατε, ἡ τῶν ἀνθρώπων γέφυρα, πρὸς Θεὸν Σὺ εἶ Παρθένε.

*ᾨδὴ η'. Παῖδας εὐαγεῖς.*

Τίμιος ἐδείχθη σου ὁ γάμος, ἡ κοίτη ἀμίαντος σοφέ, ὥσπερ ὁ Ἀπόστολος, Παῦλος προηγόρευσεν· ὅθεν καὶ

τῆς συζύγου σου θανούσης Ὅσιε, κατέλιπες τοῦ βίου τὸ ῥέον, τρυφὰς τοῦ Παραδείσου, ποθῶν ἱερομύστα.

Ὕλην γεηρὰν παμμάκαρ φεύγων, εἰς Ἄθωνος ἦλθες τὸν ζυγόν, τὸν βίον τὸν ἡσύχιον, τότε ἐκζητούμενος, τῆς προσευχῆς τὰ νάματα, τὰ ζωηρὰ καὶ τερπνά, εἰς Κώνσταντος, τὸ σκήνωμα Πάτερ, νῦν δὲ εὐφροσύνως, Τιμόθεε χορεύεις.

Φίλος τοῦ Στεφάνου ἀνεδείχθης, τοῦ πρώτου ἐν ἀθληταῖς μετὰ τὸν Κύριον· ὅθεν καὶ τὴν μάνδραν σου, Πάτερ κατεκόσμησας, ἀθλητικοῖς παλαίσμασι, ὑπακοῆς Ἀθλητά, τὸν Κύριον, ἡμῶν ἀσιγήτως, νῦν ἀκαταπαύστως, δοξάζεις σὺν Ἀγγέλοις.

*Θεοτοκίον.*

Πάντες Θεοτόκε ἐν τῷ σκότει, αἰώνων ἀνέμενον ἐκ Σοῦ, φῶς τὸ ἐνυπόστατον, ὅνπερ ἀπεκύησας, τὸν Κύριον Μητρόθεε, ὅστις κατέβαλε, τὸ θράσος, τῶν ἀπίστων βαρβάρων, καὶ ἠλευθερώθης, τῶν ὀρθοδόξων γένος.

*Ὠδὴ θ’. Ἅπας γηγενής.*

Χαίρων ἀγαθέ, τὰ ἆθλα προσάγαγε ὧδε τοῦ βίου σου, καὶ ἡμᾶς ἐκδίδαξον, Χριστὸν παμμάκαρ πόσον ἠγάπησας, τὰ πάθη τὰ ἑκούσια πῶς ἐκαρτέρησας, καὶ βασάνους, γέρων ὢν Τιμόθεε, ἵνα λάβῃς Παράδεισον Ὅσιε.

Ψάλλων ἀδελφοί, Χριστός μου ἡ δύναμις, Χριστὸς ὁ Κύριος, οὕτω καθυπέμεινα, βασάνων πόνους ἐν βιοτῇ καὶ ζυγῷ· τὰ γέρα οὕτως ἔλαβον ὡς ἀθλητὴς σταθηρός, καὶ χορεύω, χαίρων καὶ ἀγάλλομαι, σὺν Μαρτύρων χοροῖς καὶ τοῖς τάγμασι.

Ὥσπερ ἀδελφοί, ἐγὼ καθυπέμεινα ὑπὲρ τοῦ φίλου Χριστοῦ, οὕτω καὶ ὑμεῖς πιστῶς, ἀγάπῃ θείᾳ εἰρηνικῶς ἐν χαρᾷ, τιμήσατε τὸν Κύριον, τὰς ἐντολὰς δὲ Αὐτοῦ, τηροῦντες ἵνα λάβητε χάριν, καὶ ἔλεος καὶ δόξαν, καὶ στέφανον Μαρτύρων.

*Θεοτοκίον.*

Σκέπασον ἁγνή, Παρθένε Κυρία μου, ὡς μητρική μου ἐλπίς, κλῆρόν Σου τοῦ Ἄθωνος καὶ τοὺς ἐν κόσμῳ Σὲ ἀγαπήσαντας, καὶ πάντας καταξίωσον σὺν Τιμοθέῳ ὑμνεῖν, καὶ γεραίρειν, τὸν ἄχραντον Τόκον Σου, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Νεομαρτύρων ἡ πληθύς, ὥσπερ πλημμύρα ὑδάτων, κατέπνιξεν ἐν αἱμάτων, κρουνοῖς καὶ ῥείθροις ἐν ὁρμῇ, τῶν ἀλλοπίστων τὸ γένος, καὶ Ἐκκλησίαν ἀρδεύει.

*Θεοτοκίον.*

Παρθενομῆτορ Μαριάμ, πιστοῦ λαοῦ ἡ προστάτις, τῇ νεολαίᾳ Σου ἁγνή, δεῖξον ὁδὸν τῆς ἁγνείας, ἵνα μὴ κόσμος κερδίσῃ, τὰ τέκνα Σου Θεοτόκε.

*Αἶνοι. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ἀγαλλόμενοι σήμερον, οἱ χοροὶ οἱ θεόλεκτοι, τῶν Μαρτύρων σύσκηνον σὲ Τιμόθεε, περιστοιχίζουσιν ἅπαντες, οἱ νέοι ἐν ἔτεσι, παλαιοὶ δ' ἐν ἀρεταῖς, τοῦ κακοῦ οἱ ἀντίπαλοι, ὅσοι ἔσπευσαν, τοῦ Ἀρνίου τὸν δρόμον διανῦσαι, τὸν Ἰσλὰμ κατανικῶντες, τὴν θεϊκὴν ταύτην μάστιγα.

Μακαρίζεται σήμερον, ἡ πατρίς σου μακάριε, καὶ καυχᾶται Ὅσιε σὲ γεννήσασα, ὅστις τὸν βίον ἐτίμησας, καὶ σχῆμα Τιμόθεε μοναζόντων, καὶ λαμπρόν, μαρτυρίου ἀπέλαβες, στέφος ἔνδοξε, ὑποφέρων βασάνους καὶ στερήσεις, πολιᾷ ἐν ἡλικίᾳ, ὦ Ἀθλητὰ γενναιόψυχε.

Ἐκ Σεῤῥῶν ὁ Βενέδικτος, ἐκ Τριγλίας Συνέσιος, ἐκ Βεῤῥοίας κάλλιστος ὁ Τιμόθεος, Ἰωαννίνων ὁ Παῦλός τε, σὺν Σάββα θεόφρονι, ἐκ Σταγείρων καὶ κλεινός, ὁ τοῦ Κίτρου Μακάριος ὁ ἐπίσκοπος, οἱ πρωτάθλου ὁμόσκηνοι γενναίως, τοῦ Σταυροῦ τῇ παντευχίᾳ ἀρνησιχρίστους τροπούμενοι.

Ὢ πλειὰς καρτερόψυχοι, Νεομάρτυρες ἔνδοξοι, τῇ Τριάδι σήμερον παριστάμενοι, τοὺς σοὺς ἀγῶνας προσφέρατε, Χριστῷ τῷ παντάνακτι, ἐξαιροῦντες παρ'

αὐτοῦ, τὸν Τιμόθεον ἔχοντες ἀντιλήπτορα, τῶν παθῶν σωτηρίαν, καὶ ταχεῖαν ἐν τῷ κόσμῳ εὐλογίαν, καὶ τῆς εἰρήνης ἑδραίωσιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε φιλομάρτυρες παῖδες, πατέρας καλεῖν οἱ ἐθέλοντες, τοὺς καταρδεύσαντας τὸ δένδρον τῆς πίστεως, αἱματοστάκτῳ ἱδρῶτι, ῥεύμασι δακρύων καὶ αἱμάτων κρουνοῖς τοὺς θρέψαντας, χορείαν στησώμεθα. Τιμόθεον τὸν Ὁσιομάρτυρα περιστοιχίζοντες, ἐπαινέσωμεν τοὺς ἀθλητάς, μακαρίσωμεν αὐτῶν τὴν μνήμην, καὶ δοξάσωμεν τὸν δωρεοδότην Χριστὸν τὸν πρωτομάρτυρα, τὸν χαρισάμενον ἡμῖν, πατέρας φιλότεκνους, ἀξίους μιμήσεως.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Μαρτύρων θεῖος καρπός, Τιμόθεε μάκαρ, τῶν Ὁσίων συμπρεσβευτά, καὶ τῶν συζυγούντων παράδειγμα καὶ σκέπη, πατρίδος σου δὲ πύργος ἀκαταμάχητος.

